**0295-0373 - Athanasius Alexandrinus - Magnus - Epistula ad Jovianum 1**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright.
On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site.
Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality,
serial number '2035 119 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances.
Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

Epistula ad Jovianum

[00001] ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΘΑΝΑ ΣΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΠΡΟΣ ΙΩΒΙΑΝΟΝ ΠΕΡΙ ΠΙΣΤΕΩΣ.

[00002] Πρέπουσα θεοφιλεῖ βασιλεῖ φιλομαθὴς προαίρεσις καὶ πόθος τῶν οὐρανίων·

[00003] οὕτω γὰρ ἀληθῶς καὶ τὴν καρδίαν ἕξις ἐν χειρὶ Θεοῦ.

[00004] Θελησάσης τοίνυν τῆς σῆς εὐσεβείας μαθεῖν παρ' ἡμῶν τὴν τῆς καθολικῆς Ἐκκλησίας πίστιν, εὐχαριστήσαντες ἐπὶ τούτοις τῷ Κυρίῳ, ἐβουλευσάμεθα μᾶλλον πάντων τὴν παρὰ τῶν Πατέρων ἐν Νικαίᾳ ὁμολογηθεῖσαν πίστιν ὑπομνῆσαι τὴν σὴν εὐσέβειαν.

[00005] Ταύτην γὰρ ἀθετήσαντές τινες, ἡμῖν μὲν ποικίλως ἐπεβούλευσαν, ὅτι μὴ ἐπειθόμεθα τῇ Ἀρειανῇ αἱρέ [26.816] σει·

[00006] αἴτιοι δὲ γεγόνασιν αἱρέσεως καὶ σχισμάτων τῇ καθολικῇ Ἐκκλησίᾳ.

[00007] Ἡ μὲν γὰρ ἀληθὴς καὶ εὐσεβὴς εἰς τὸν Κύριον πίστις φανερὰ πᾶσι καθέστηκεν, ἐκ τῶν θείων Γραφῶν γινωσκομένη τε καὶ ἀναγινωσκομένη.

[00008] Ἐν ταύτῃ γὰρ καὶ οἱ ἅγιοι τελειωθέντες ἐμαρτύρησαν, καὶ νῦν ἀναλύσαντές εἰσιν ἐν Κυρίῳ·

[00009] καὶ ἔμεινεν ἂν ἡ πίστις ἀβλαβὴς διὰ παντὸς, εἰ μὴ πονηρία τινῶν αἱρετικῶν παραποιῆσαι ταύτην ἐτόλμησεν.

[00010] Ἄρειος γάρ τις καὶ οἱ σὺν αὐτῷ διαφθεῖραι ταύτην, καὶ ἀσέβειαν κατ' αὐτῆς ἐπεισαγαγεῖν ἐπεχείρησαν, φάσκοντες ἐξ οὐκ ὄντων καὶ κτίσμα καὶ ποίημα καὶ τρεπτὸν εἶναι τὸν Υἱὸν τοῦ Θεοῦ.

[00011] Πολλοὺς δὲ τούτοις ἠπάτησαν τοῖς λόγοις, ὥστε καὶ τοὺς δοκοῦντας εἶναί τι συναπαχθῆναι αὐτῶν τῇ βλασφημίᾳ·

[00012] καίτοι φθάσαντες μὲν οἱ ἅγιοι Πατέρες ἡμῶν συνελθόντες, ὡς προείπομεν, κατὰ τὴν ἐν Νικαίᾳ σύνοδον, ἀνεθεμάτισαν·

[00013] τὴν δὲ τῆς καθολικῆς Ἐκκλησίας πίστιν ὡμολόγησαν ἐγγράφως, ὥστε, ταύτης πανταχοῦ κηρυττομένης, ἀποσβεσθῆναι τὴν ἀναφθεῖσαν αἵρεσιν παρὰ τῶν αἱρετικῶν.

[00014] Ἦν μὲν οὖν αὕτη πανταχοῦ κατὰ πᾶσαν Ἐκκλησίαν ἀδόλως γινωσκομένη τε καὶ κηρυττομένη·

[00015] ἀλλ' ἐπειδὴ νῦν, τὴν Ἀρειανὴν αἵρεσιν ἀνανεῶσαι βουλόμενοί τινες, ταύτην μὲν τὴν ἐν Νικαίᾳ παρὰ τῶν Πατέρων ὁμολογηθεῖσαν πίστιν ἐτόλμησαν ἀθετῆσαι, καὶ σχηματίζονται μὲν ὁμολογεῖν αὐτὴν, ταῖς δὲ ἀληθείαις ἀρνοῦνται, παρερμηνεύοντες τὸ ὁμοούσιον, καὶ αὐτοὶ βλασφημοῦντες εἰς τὸ Πνεῦμα τὸ ἅγιον, ἐν τῷ φάσκειν αὐτοὺς κτίσμα εἶναι αὐτὸ, καὶ ποίημα διὰ τοῦ Υἱοῦ γεγενῆσθαι·

[00016] ἀναγκαίως, θεωρήσαντες τὴν τῆς ἐκ τοιαύτης βλασφημίας βλάβην γινομένην κατὰ τῶν λαῶν, ἐπιδοῦναι τῇ σῇ εὐλαβείᾳ τὴν ἐν Νικαίᾳ ὁμολογηθεῖσαν πίστιν ἐσπουδάσαμεν, ἵνα γνῷ σου ἡ θεοσέβεια ἃ μετὰ πάσης ἀκριβείας γέγραπται, καὶ ὅσον πλανῶνται οἱ παρὰ ταύτην διδάσκοντες.

[00017] Γίνωσκε γὰρ, θεοφιλέστατε Αὔγουστε, ὅτι ταῦτα μὲν ἐξ αἰῶνός ἐστι κηρυττόμενα, ταύτην δὲ οἱ ἐν Νικαίᾳ συνελθόντες ὡμολόγησαν Πατέρες, καὶ ταύτῃ σύμψηφοι τυγχάνουσι πᾶσαι αἱ πανταχοῦ κατὰ τόπον Ἐκκλησίαι, αἵ τε κατὰ τὴν Σπανίαν, καὶ Βρετανίαν, καὶ Γαλλίας, καὶ τῆς Ἰταλίας πάσης, καὶ Δαλματίας, Δακίας τε καὶ Μυσίας, Μακεδονίας, καὶ πάσης τῆς Ἑλλάδος, καὶ κατὰ τὴν Ἀφρι [26.817] κὴν πᾶσαν, καὶ Σαρδανίαν, καὶ Κύπρον, καὶ Κρήτην, Παμφυλίαν τε, καὶ Λυκίαν, καὶ Ἰσαυρίαν, καὶ αἱ κατ' Αἴγυπτον καὶ τὰς Λιβύας καὶ Πόντον καὶ Καππαδοκίαν, καὶ αἱ πλησίον ἡμῶν, καὶ αἱ κατὰ ἀνατολὰς Ἐκκλησίαι, παρὲξ ὀλίγων τῶν τὰ Ἀρείου φρονούντων.

[00018] Ἁπάντων γὰρ τῶν προειρημένων καὶ πείρᾳ ἐγνώκαμεν τὴν γνώμην, καὶ γράμματα ἔχομεν.

[00019] Καὶ οἶδας, ὦ θεοφιλέστατε Αὔγουστε, ὅτι, κἂν ὀλίγοι τινὲς ἀντιλέγωσι ταύτῃ τῇ πίστει, οὐ δύνανται πρόκριμα ποιεῖν, πάσης τῆς οἰκουμένης τὴν ἀποστολικὴν πίστιν κρατούσης.

[00020] Ἐκεῖνοι γὰρ, πολλῷ χρόνῳ βλαβέντες ἀπὸ τῆς Ἀρειανῆς αἱρέσεως, φιλονεικότερον ἀνθίστανται νῦν τῇ εὐσεβείᾳ.

[00021] Καὶ ὑπὲρ τοῦ γινώσκειν τὴν σὴν εὐσέβειαν, καίτοι γινώσκουσαν, ὅμως ἐσπουδάσαμεν τὴν ἐν Νικαίᾳ πίστιν ὁμολογηθεῖσαν ὑπὸ τῶν ἐπισκόπων ὑποτάξαι.

[00022] Ἔστι μὲν οὖν ἡ παρὰ τῶν Πατέρων ὁμολογηθεῖσα πίστις ἐν Νικαίᾳ αὕτη·

[00023] Πιστεύομεν εἰς ἕνα Θεὸν, Πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν·

[00024] καὶ εἰς τὸν ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ, γεννηθέντα ἐκ τοῦ Πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τῷ οὐρανῷ καὶ τὰ ἐπὶ τῆς γῆς·

[00025] τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, καὶ σαρκωθέντα, ἐνανθρωπήσαντα, παθόντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς·

[00026] καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον.

[00027] Τοὺς δὲ λέγοντας, Ἦν ποτε, ὅτε οὐκ ἦν, καὶ, Πρὶν γενηθῆναι, οὐκ ἦν, καὶ ὅτι Ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι, ἢ κτιστὸν, ἢ τρεπτὸν, ἢ ἀλλοιωτὸν τὸν Υἱὸν τοῦ Θεοῦ, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία.

[00028] Ταύτῃ τῇ πίστει, Αὔγουστε, πάντας ἐπιμένειν ἀναγκαῖον, ὡς θείᾳ καὶ ἀποστολικῇ, καὶ μηδένα μετακινεῖν αὐτὴν πιθανολογίαις καὶ λογομαχίαις, ὅπερ πεποιήκασιν οἱ Ἀρειομανῖται, ἐξ οὐκ ὄντων τὸν Υἱὸν τοῦ Θεοῦ λέγοντες, καὶ ὅτι ἦν ποτε ὅτε οὐκ ἦν, καὶ κτιστὸς, καὶ ποιητὸς, καὶ τρεπτός ἐστι.

[00029] Διὰ τοῦτο γὰρ, καθὰ προείπομεν, καὶ ἡ ἐν Νικαίᾳ σύνοδος ἀνεθεμάτισε τὴν τοιαύτην αἵρεσιν, τὴν δὲ τῆς ἀληθείας πίστιν ὡμολόγησεν.

[00030] Οὐ γὰρ ἁπλῶς ὅμοιον εἰρήκασι τὸν Υἱὸν τῷ Πατρὶ, ἵνα μὴ ἁπλῶς ὅμοιος Θεῷ, ἀλλ' [26.820] ἐκ Θεοῦ Θεὸς ἀληθινὸς πιστεύηται·

[00031] ἀλλ' ὁμοούσιος ἔγραψαν, ὅπερ ἴδιον ἦν γνησίου καὶ ἀληθινοῦ Υἱοῦ, ἀληθινοῦ καὶ φύσει τοῦ Πατρός.

[00032] Ἀλλ' οὐδὲ ἀπηλλοτρίωσαν τὸ Πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ἀλλὰ μᾶλλον συνεδόξασαν αὐτὸ τῷ Πατρὶ καὶ τῷ Υἱῷ ἐν τῇ μιᾷ τῆς ἁγίας Τριάδος πίστει, διὰ τὸ καὶ μίαν εἶναι ἐν τῇ ἁγίᾳ Τριάδι θεότητα.

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0295-0373 - Athanasius Alexandrinus - Magnus - Epistula ad Jovianum 1**
**Litterarum Omnium Conspectus: 110 Litterae, quae repetitae sunt in 4,161 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 373 | Α | 0913 | 14 |
| β | 0946 | 24 | Β | 0914 | 2 |
| γ | 0947 | 70 | Γ | 0915 | 4 |
| δ | 0948 | 37 | Δ | 0916 | 0 |
| ε | 0949 | 208 | Ε | 0917 | 6 |
| ζ | 0950 | 3 | Ζ | 0918 | 0 |
| η | 0951 | 85 | Η | 0919 | 1 |
| θ | 0952 | 60 | Θ | 0920 | 15 |
| ι | 0953 | 195 | Ι | 0921 | 10 |
| κ | 0954 | 172 | Κ | 0922 | 10 |
| λ | 0955 | 102 | Λ | 0923 | 3 |
| μ | 0956 | 94 | Μ | 0924 | 3 |
| ν | 0957 | 393 | Ν | 0925 | 14 |
| ξ | 0958 | 9 | Ξ | 0926 | 1 |
| ο | 0959 | 236 | Ο | 0927 | 9 |
| π | 0960 | 113 | Π | 0928 | 28 |
| ρ | 0961 | 121 | Ρ | 0929 | 5 |
| ς | 0962 | 140 | • | 0930 | 0 |
| σ | 0963 | 164 | Σ | 0931 | 10 |
| τ | 0964 | 345 | Τ | 0932 | 8 |

| | | | | | |
|---|---|---|---|---|---|
| υ | 0965 | 35 | Υ | 0933 | 12 |
| φ | 0966 | 24 | Φ | 0934 | 0 |
| χ | 0967 | 14 | Χ | 0935 | 2 |
| ψ | 0968 | 2 | Ψ | 0936 | 0 |
| ω | 0969 | 39 | Ω | 0937 | 3 |
| ῤ | 8164 | 0 | | | 0 |
| ῥ | 8165 | 0 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 36 | έ | 8051 | 45 | ή | 8053 | 8 | ί | 8055 | 92 | ό | 8057 | 29 | ύ | 8059 | 37 | ώ | 8061 | 5 |
| ὰ | 8048 | 35 | ὲ | 8050 | 19 | ὴ | 80852 | 37 | ὶ | 8054 | 75 | ὸ | 8056 | 44 | ὺ | 8058 | 8 | ὼ | 8060 | 0 |
| ᾶ | 8118 | 7 | | | 0 | ῆ | 8134 | 26 | ῖ | 8150 | 21 | | | 0 | ῦ | 8166 | 41 | ῶ | 8182 | 28 |
| ἀ | 7936 | 44 | ἐ | 7952 | 50 | ἠ | 7968 | 1 | ἰ | 7984 | 11 | ὀ | 8000 | 2 | ὐ | 8016 | 31 | ὠ | 8032 | 0 |
| ἁ | 7937 | 4 | ἑ | 7953 | 1 | ἡ | 7969 | 12 | ἱ | 7985 | 24 | ὁ | 8001 | 10 | ὑ | 8017 | 5 | ὡ | 8033 | 5 |
| ἂ | 7938 | 2 | ἒ | 7954 | 0 | ἢ | 7970 | 5 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 1 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 0 | ὃ | 8003 | 0 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 0 | ἔ | 7956 | 3 | ἤ | 7972 | 0 | ἴ | 7988 | 3 | ὄ | 8004 | 3 | ὔ | 8020 | 3 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 5 | ἕ | 7957 | 3 | ἥ | 7973 | 0 | ἵ | 7989 | 6 | ὅ | 8005 | 13 | ὕ | 8021 | 3 | ὥ | 8037 | 2 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 5 | ἶ | 7990 | 6 | | | 0 | ὖ | 8022 | 2 | ὦ | 8038 | 1 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 0 | | | 0 | ὗ | 8023 | 1 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 16 | | | 0 | ῃ | 8131 | 5 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 3 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 1 | | | 0 | ῇ | 8135 | 14 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 13 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0295-0373 - Athanasius Alexandrinus - Magnus - Epistula ad Jovianum 1**

**Verborum Omnium Conspectus: 415Verba, quae repetita sunt in 3,742,960 occasionibus**

---

**ᾶ** [00016]
**ἀβλαβὴς** [00009]
**ἁγίᾳ** [00032]
**ἁγίας** [00032]
**ἅγιοι** [00008] [00012]
**ΑΓΙΟΙΣ** [00001]
**ἅγιον** [00015] [00026] [00032]
**ἀδόλως** [00014]
**ΑΘΑΝΑ** [00001]
**ἀθετῆσαι** [00015]
**ἀθετήσαντές** [00005]
**αἱ** [00017] [00017] [00017] [00017]
**αἵ** [00017]
**Αἴγυπτον** [00017]
**αἱρέ** [00005]
**αἱρέσεως** [00006] [00020]
**αἵρεσιν** [00013] [00015] [00029]
**αἱρετικῶν** [00009] [00013]
**αἴτιοι** [00006]
**αἰῶνός** [00017]
**ἀκριβείας** [00016]
**ΑΛΕΞΑΝΔΡΕΙΑΣ** [00001]
**ἀληθείαις** [00015]
**ἀληθείας** [00029]
**ἀληθὴς** [00007]
**ἀληθινὸν** [00024]
**ἀληθινὸς** [00030]
**ἀληθινοῦ** [00024] [00031] [00031]
**ἀληθῶς** [00003]
**ἀλλ** [00015] [00030] [00031]
**Ἀλλ** [00032]
**ἀλλὰ** [00032]
**ἀλλοιωτὸν** [00027]
**ἂν** [00009]
**ἀναγινωσκομένη** [00007]
**ἀναγκαῖον** [00028]
**ἀναγκαίως** [00016]
**ἀναθεματίζει** [00027]
**ἀναλύσαντές** [00008]
**ἀνανεῶσαι** [00015]
**ἀναστάντα** [00025]
**ἀνατολὰς** [00017]
**ἀναφθεῖσαν** [00013]
**ἀνεθεμάτισαν** [00012]
**ἀνεθεμάτισε** [00029]
**ἀνελθόντα** [00025]
**ἀνθίστανται** [00020]
**ἀνθρώπους** [00025]
**ἀντιλέγωσι** [00019]
**ἀοράτων** [00023]
**Ἁπάντων** [00018]
**ἀπηλλοτρίωσαν** [00032]
**ἁπλῶς** [00030] [00030]
**ἀποσβεσθῆναι** [00013]
**ἀποστολικὴ** [00027]
**ἀποστολικῇ** [00028]
**ἀποστολικὴν** [00019]
**Ἀρειανῇ** [00005]
**Ἀρειανὴν** [00015]
**Ἀρειανῆς** [00020]
**Ἀρειομανῖται** [00028]
**Ἄρειος** [00010]
**Ἀρείου** [00017]
**ἀρνοῦνται** [00015]
**ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ** [00001]
**ἀσέβειαν** [00010]
**Αὔγουστε** [00017] [00019] [00028]
**αὕτη** [00014] [00022]
**αὐτὴν** [00015] [00028]
**αὐτῆς** [00010]
**αὐτὸ** [00015] [00032]
**αὐτοὶ** [00015]
**αὐτοὺς** [00015]
**αὐτῷ** [00010]
**αὐτῶν** [00011]
**Ἄφρι** [00017]

**βασιλεῖ** [00002]
**βλαβέντες** [00020]
**βλάβην** [00016]
**βλασφημίᾳ** [00011]
**βλασφημίας** [00016]
**βλασφημοῦντες** [00015]
**βουλόμενοί** [00015]
**Βρετανίαν** [00017]

**Γαλλίας** [00017]
**γὰρ** [00003] [00005] [00007] [00008] [00017] [00018] [00020] [00029] [00030]
**γάρ** [00010]
**γεγενῆσθαι** [00015]
**γεγόνασιν** [00006]
**γέγραπται** [00016]
**γενηθῆναι** [00027]
**γεννηθέντα** [00024] [00024]
**γῆς** [00024]
**γινομένην** [00016]
**Γίνωσκε** [00017]
**γινώσκειν** [00021]
**γινωσκομένη** [00007] [00014]
**γινώσκουσαν** [00021]
**γνησίου** [00031]
**γνῷ** [00016]

**γνώμην** [00018]
**γράμματα** [00018]
**Γραφῶν** [00007]

**Δακίας** [00017]
**Δαλματίας** [00017]
**δὲ** [00006] [00011] [00013] [00015] [00017] [00027] [00029]
**δι** [00024] [00025]
**Διὰ** [00029]
**διὰ** [00009] [00015] [00025] [00032]
**διαφθεῖραι** [00010]
**διδάσκοντες** [00016]
**δοκοῦντας** [00011]
**δύνανται** [00019]

**ἐβουλευσάμεθα** [00004]
**ἐγγράφως** [00013]
**ἐγένετο** [00024] [00027]
**ἐγνώκαμεν** [00018]
**ἔγραψαν** [00031]
**εἰ** [00009]
**εἶναί** [00011]
**εἶναι** [00010] [00015] [00027] [00032]
**εἰρήκασι** [00030]
**εἰς** [00007] [00015] [00023] [00024] [00025] [00026]
**εἰσιν** [00008]
**ἐκ** [00007] [00016] [00024] [00024] [00024] [00024] [00024] [00030]
**Ἐκεῖνοι** [00020]
**Ἐκκλησίᾳ** [00006]
**Ἐκκλησία** [00027]
**Ἐκκλησίαι** [00017] [00017]
**Ἐκκλησίαν** [00014]
**Ἐκκλησίας** [00004] [00013]
**Ἑλλάδος** [00017]
**ἐμαρτύρησαν** [00008]
**ἔμεινεν** [00009]
**ἐν** [00003] [00004] [00008] [00012] [00015] [00015] [00016] [00017] [00021] [00022] [00024] [00029] [00032] [00032]
**Ἐν** [00008]
**ΕΝ** [00001]
**ἕνα** [00023] [00024]
**ἐνανθρωπήσαντα** [00025]
**ἐξ** [00010] [00017] [00027] [00028]
**Ἐξ** [00027]
**ἕξις** [00003]
**ἐπεβούλευσαν** [00005]
**ἐπειδὴ** [00015]
**ἐπειθόμεθα** [00005]
**ἐπεισαγαγεῖν** [00010]
**ἐπεχείρησαν** [00010]
**ἐπὶ** [00004] [00024]
**ἐπιδοῦναι** [00016]
**ἐπιμένειν** [00028]
**ἐπισκόπων** [00021]
**ἐρχόμενον** [00025]
**ἐσπουδάσαμεν** [00016] [00021]
**ἐστι** [00017] [00028]
**Ἔστι** [00022]
**ἑτέρας** [00027]
**ἐτόλμησαν** [00015]
**ἐτόλμησεν** [00009]
**εὐλαβείᾳ** [00016]
**εὐσεβείᾳ** [00020]
**εὐσέβειαν** [00004] [00021]
**εὐσεβείας** [00004]
**εὐσεβὴς** [00007]
**εὐχαριστήσαντες** [00004]
**ἔχομεν** [00018]

**ζῶντας** [00025]

**ή** [00009] [00016] [00022] [00027] [00029]
**ἢ** [00027] [00027] [00027] [00027] [00027]
**Ἡ** [00007]
**ἡμᾶς** [00025]
**ἡμέρᾳ** [00025]
**ἡμετέραν** [00025]
**ἡμῖν** [00005]
**ἡμῶν** [00004] [00012] [00017]
**ΗΜΩΝ** [00001]
**ἦν** [00027] [00027] [00028] [00028] [00031]
**Ἦν** [00014] [00027]
**ἠπάτησαν** [00011]

**θείᾳ** [00028]
**θείων** [00007]
**Θελησάσης** [00004]
**Θεὸν** [00023] [00024] [00024]
**Θεὸς** [00030]
**θεοσέβεια** [00016]
**θεότητα** [00032]
**Θεοῦ** [00003] [00010] [00024] [00024] [00024] [00027] [00028] [00030]
**θεοφιλεῖ** [00002]
**θεοφιλέστατε** [00017] [00019]
**Θεῷ** [00030]
**θεωρήσαντες** [00016]

**ἴδιον** [00031]
**Ἰησοῦν** [00024]
**ἵνα** [00016] [00030]
**Ἰσαυρίαν** [00017]
**Ἰταλίας** [00017]
**ΙΩΒΙΑΝΟΝ** [00001]

**καθὰ** [00029]
**καθέστηκεν** [00007]
**καθολικὴ** [00027]
**καθολικῇ** [00006]
**καθολικῆς** [00004] [00013]
**καίτοι** [00012] [00021]
**κἂν** [00019]
**Καππαδοκίαν** [00017]
**καρδίαν** [00003]
**κατ** [00010] [00017]
**κατελθόντα** [00025]
**κὴν** [00017]
**κηρυττόμενα** [00017]
**κηρυττομένη** [00014]
**κηρυττομένης** [00013]
**κρατούσης** [00019]
**Κρήτην** [00017]
**κρῖναι** [00025]
**κτίσμα** [00010] [00015]
**κτιστὸν** [00027]
**κτιστὸς** [00028]
**Κύπρον** [00017]
**Κύριον** [00007] [00024]
**Κυρίῳ** [00004] [00008]

**λαῶν** [00016]
**λέγοντας** [00027]
**λέγοντες** [00028]
**Λιβύας** [00017]
**λόγοις** [00011]
**λογομαχίαις** [00028]
**Λυκίαν** [00017]

**μαθεῖν** [00004]
**Μακεδονίας** [00017]
**μᾶλλον** [00004] [00032]
**μὲν** [00005] [00007] [00012] [00014] [00015] [00015] [00017] [00022]
**μετακινεῖν** [00028]
**μηδένα** [00028]
**μιᾷ** [00032]
**μίαν** [00032]
**μονογενῆ** [00024]
**Μυσίας** [00017]

**νεκρούς** [00025]
**Νικαίᾳ** [00004] [00012] [00015] [00016] [00017] [00021] [00022] [00029]
**νῦν** [00008] [00015] [00020]

**οἱ** [00008] [00010] [00012] [00016] [00017] [00028]
**οἶδας** [00019]
**οἰκουμένης** [00019]
**ὀλίγοι** [00019]
**ὀλίγων** [00017]
**ὅμοιον** [00030]
**ὅμοιος** [00030]
**ὁμολογεῖν** [00015]
**ὁμολογηθεῖσα** [00022]
**ὁμολογηθεῖσαν** [00004] [00015] [00016] [00021]
**ὁμοούσιον** [00015] [00024]
**ὁμοούσιος** [00031]
**ὅμως** [00021]
**ὄντων** [00010] [00027] [00028]
**ὅπερ** [00028] [00031]
**ὁρατῶν** [00023]
**ὅσον** [00016]
**ὅτε** [00027] [00028]
**ὅτι** [00005] [00017] [00019] [00027] [00028]
**Οὐ** [00030]
**οὐ** [00019] [00024]
**οὐ** [00024]
**οὐδὲ** [00032]
**οὐκ** [00010] [00027] [00027] [00027] [00028] [00028]
**οὖν** [00014] [00022]
**οὐρανίων** [00002]
**οὐρανοὺς** [00025]
**οὐρανῷ** [00024]
**οὐσίας** [00024] [00027]
**οὕτω** [00003]

**παθόντα** [00025]
**Παμφυλίαν** [00017]
**πάντα** [00024]
**πάντας** [00028]
**πανταχοῦ** [00013] [00014] [00017]
**παντοκράτορα** [00023]
**παντὸς** [00009]
**πάντων** [00004] [00023]
**παρ** [00004]
**παρὰ** [00004] [00013] [00015] [00016] [00022]
**παραποιῆσαι** [00009]
**παρὲξ** [00017]
**παρερμηνεύοντες** [00015]
**πᾶσαι** [00017]
**πᾶσαν** [00014] [00017]
**πάσης** [00016] [00017] [00017] [00019]
**πᾶσι** [00007]
**Πατέρα** [00023]
**Πατέρες** [00012] [00017]
**Πατέρων** [00004] [00015] [00022]
**Πατρὶ** [00024] [00030] [00032]
**Πατρὸς** [00024] [00024] [00032]
**Πατρός** [00031]
**ΠΑΤΡΟΣ** [00001]
**πείρᾳ** [00018]
**πεποιήκασιν** [00028]
**ΠΕΡΙ** [00001]
**πιθανολογίαις** [00028]

πίστει [00019] [00028] [00032]
πιστεύηται [00030]
Πιστεύομεν [00023]
ΠΙΣΤΕΩΣ [00001]
πίστιν [00004] [00004] [00013] [00015] [00016] [00019] [00021] [00029]
πίστις [00007] [00009] [00022]
πλανῶνται [00016]
πλησίον [00017]
Πνεῦμα [00015] [00026] [00032]
πόθος [00002]
ποιεῖν [00019]
ποιηθέντα [00024]
ποίημα [00010] [00015]
ποιητήν [00023]
ποιητὸς [00028]
ποικίλως [00005]
Πολλοὺς [00011]
πολλῷ [00020]
πονηρία [00009]
Πόντον [00017]
ποτε [00027] [00028]
Πρέπουσα [00002]
Πρὶν [00027]
προαίρεσις [00002]
προείπομεν [00012] [00029]
προειρημένων [00018]
πρόκριμα [00019]
ΠΡΟΣ [00001]

Σαρδανίαν [00017]
σαρκωθέντα [00025]
σει [00005]
σῇ [00016]
σὴν [00004] [00021]
σῆς [00004]
ΣΙΟΥ [00001]
σου [00016]
Σπανίαν [00017]
σύμψηφοι [00017]
σὺν [00010]
συναπαχθῆναι [00011]
συνεδόξασαν [00032]
συνελθόντες [00012] [00017]
σύνοδον [00012]
σύνοδος [00029]
σχηματίζονται [00015]
σχισμάτων [00006]
σωτηρίαν [00025]

τὰ [00017] [00024] [00024]
τά [00024]
ταῖς [00015]
τὰς [00017]
ταῦτα [00017]
Ταύτῃ [00028]
ταύτῃ [00008] [00017] [00019]
Ταύτην [00005]
ταύτην [00009] [00010] [00015] [00016] [00017]
ταύτης [00013]
τε [00007] [00014] [00017] [00017] [00017] [00023] [00024]
τελειωθέντες [00008]
τῇ [00005] [00006] [00011] [00016] [00019] [00020] [00025] [00028] [00032] [00032]
τὴν [00003] [00004] [00004] [00004] [00012] [00013] [00013] [00015] [00015] [00016] [00016] [00017] [00017] [00018] [00019] [00021] [00021] [00025] [00029] [00029]
τῆς [00004] [00004] [00013] [00016] [00017] [00017] [00019] [00020] [00024] [00024] [00029] [00032]
τι [00011]
τινὲς [00019]
τινες [00005] [00015]
τινῶν [00009]
τις [00010]
τὸ [00015] [00015] [00015] [00026] [00026] [00032] [00032] [00032]
τοιαύτην [00029]
τοιαύτης [00016]
τοίνυν [00004]
τοῖς [00011]
τὸν [00007] [00010] [00024] [00024] [00025] [00027] [00028] [00030]
τόπον [00017]
ΤΟΥ [00001]
τοῦ [00010] [00015] [00021] [00024] [00024] [00024] [00027] [00028] [00031] [00032] [00032]
Τοὺς [00027]
τοὺς [00011] [00025] [00025]
τουτέστιν [00024]
τοῦτο [00029]
τούτοις [00004] [00011]
τούτους [00027]
τρεπτὸν [00010] [00027]
τρεπτός [00028]
Τριάδι [00032]
Τριάδος [00032]
τρίτῃ [00025]
τυγχάνουσι [00017]
τῷ [00004] [00015] [00024] [00024] [00030] [00032] [00032]
τῶν [00002] [00004] [00007] [00013] [00015] [00016] [00017] [00018] [00021] [00022]

Υἱὸν [00010] [00024] [00027] [00028] [00030]
Υἱοῦ [00015] [00031] [00032]
Υἱῷ [00032]
ὑπὲρ [00021]
ὑπὸ [00021]
ὑπομνῆσαι [00004]
ὑποστάσεως [00027]
ὑποτάξαι [00021]

φανερὰ [00007]
φάσκειν [00015]
φάσκοντας [00027]
φάσκοντες [00010]
φθάσαντες [00012]
φιλομαθὴς [00002]

**φιλονεικότερον** [00020]
**φρονούντων** [00017]
**φύσει** [00031]
**φῶς** [00024]
**φωτὸς** [00024]

**χειρὶ** [00003]
**Χριστὸν** [00024]
**χρόνῳ** [00020]

**ὢ** [00019]
**ὡμολόγησαν** [00013] [00017]
**ὡμολόγησεν** [00029]
**ὡς** [00012] [00028]
**ὥστε** [00011] [00013]